ἐστιν, οὐκ ἐν ἐμοί. ἐὰν γὰρ ᾖς καλόδουλος, οὐδεὶς ὁ καλὸν
φεύγει. ἐὰν δὲ ᾖς κακόδουλος καὶ φθορὰν ἐργάζῃ τῶν ἀ-
ναγκαίων μὴ φροντίζων, ὥραν μίαν οὐ μένω πρὸς σέ.
ὁ Ξάνθος ἔφη, καλῶς λέγεις, ἀλλὰ πάνυ σαπρὸς εἶ.
Αἴσωπος ἔφη, εἰς τὸν νοῦν δεῖ ἀποβλέπειν, καὶ οὐχὶ εἰς τὴν
θέαν. προσελθὼν οὖν ὁ Ξάνθος τῷ σωματεμπόρῳ λέγει,
πόσου τοῦτον πωλεῖς; ὁ δὲ ἔφη, σκώψαι μου παρὰ τὴν
ἐμπορείαν. καὶ ὁ Ξάνθος, διατί, φησί, ὅτι ἀφεὶς τοὺς
ἀξίους σοι παῖδας, τὸν σαπρὸν τοῦτον ᾑρετίσω. ἕνα ἐ-
κείνων ὤνησαι, καὶ τοῦτον λάβε προσδόμα. Ξάνθος
λέγει, οὐχί, ἀλλ' εἰπὲ μόνον τὴν τούτου τιμήν. ὁ δὲ πρὸς
αὐτὸν, δὸς ἑξήκοντα δηνάρια, καὶ λάβε αὐτόν. καὶ
οἱ μὲν σχολαστικοὶ δεδώκασιν, ὁ δὲ Ξάνθος ἠγόρασε.
μαθόντες δὲ οἱ τελῶναι, ἤτοι οἱ κουμβερκιάριοι τὴν
πρᾶσιν, παρεγίνοντο ἐρωτῶντες, τίς ἄρα πέπρακεν,